[1]) Soph. Oed. R. 1169 sq.; vid. etiam Aesch. Sept. 516. — [2]) Av. 378. — [3]) Item Plat. Phaedr. 242 *b* Menon. 96 *d* etc. — [4]) Thucyd. VI 34 § 2. — [5]) Thesm. 429 sq. — [6]) Vid. ad Av. 549 Ran. 1235. — [7]) Vid. ad vs. 13. — [8]) Vid. ad Ach. 411. — [9]) Vid. ad Ran. 533.

ΧΡΕΜΥΛΟΣ.

τίς δῆτ' ἰατρός ἐστι νῦν ἐν τῇ πόλει!
οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐστ' οὔθ' ἡ τέχνη.

ΒΛΕΨΙΔΗΜΟΣ.

(spectatores oculis lustrans:)

σκοπῶμεν.

ΧΡΕΜΥΛΟΣ.

(item:)

ἀλλ' οὐκ ἔστιν.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐδ' ἐμοὶ δοκεῖ.

ΧΡΕΜΥΛΟΣ.

μὰ Δί', ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
ἐγώ, κατακλίνειν αὐτὸν εἰς Ἀσκληπιοῦ
κράτιστόν ἐστι.

ΒΛΕΨΙΔΗΜΟΣ.

πολὺ μὲν οὖν, νὴ τοὺς θεούς.
μή νυν διάτριβ', ἀλλ' ἄνυτε πράττων ἕν γέ τι.

ΧΡΕΜΥΛΟΣ.

καὶ δὴ βαδίζω.

---

408. Post vs. 409 collocari iubet vVelsen. || ἐστ'] ἔτ' ἐστ' Halbertsma.
411. κατακλίνειν] -κλινεῖν V R.
413 sq. Sic distributos habet R; in V Chremyli sunt vs. 413 sq.[b], Blepsidemi 414[a, c].
413. ἄνυτε] ἄνυε V R.
414. δὴ V] μὴν R. Cf. vs. 227.

δῆτα περιπόλους ἐχρῆν | πέμψαι κατ' αὐτὸν εὐθύς; [1]). Praeteritum urgentis [2]): *nonne factum oportuit?* Cf. aoristus in locutione: τί οὐκ ἀπεκοιμήθημεν [3]) et similibus.

408. Mercedem, qua medici publici conducebantur [4]), brevi ante imminutam esse (non abolitam) ex hoc versu efficio [5]). Dignus qui conferatur est locus Ecclesiazusarum [6]).

411. Sic etiam Philocleonem illum filius νύκτωρ κατέκλινεν εἰς Ἀσκληπιοῦ [7]).

413. ἄνυτε πράττων] rarius hoc quam πρᾶττε ἀνύσας (τι) [8]).

414. καὶ δὴ βαδίζω] item supra [9]).

---

[1]) Av. 1177. — [2]) Vid. ann. crit. ad Eq. 751. — [3]) Vesp. 218; vid. ad Eq. 1207. — [4]) Vid. ad Ach. 1030—1032. — [5]) Item vHerwerden. — [6]) Eccl. 363 sq. — [7]) Vesp. 123. — [8]) Vid. ad Ran. 606. — [9]) Vs. 227.

ΒΛΕΨΙΔΗΜΟΣ.

σπεῦδέ νυν.

ΧΡΕΜΥΛΟΣ.

τοῦτ᾽ αὐτὸ δρῶ.

(Dextrorsum abituro occurrit **Paupertas** misero vestitu tristique specie.)

SCENA SEPTIMA.

Chremylus, Blepsidemus, Paupertas.

ΠΕΝΙΑ.

ὦ θερμὸν ἔργον καὶ ἀνόσιον καὶ παράνομον
τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε!
ποῖ, ποῖ; τί φεύγετον; οὐ μενεῖτον;

ΧΡΕΜΥΛΟΣ.

Ἡράκλεις!

ΠΕΝΙΑ.

ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακοὺς κακῶς·
τόλμημα γὰρ τολμᾶτον οὐκ ἀνασχετόν,
ἀλλ᾽ οἷον οὐδεὶς ἄλλος οὐδεπώποτε
οὔτε θεὸς οὔτ᾽ ἄνθρωπος. ὥστ᾽ ἀπολώλατον.

ΧΡΕΜΥΛΟΣ.

σὺ δ᾽ εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.

---

417. *φεύγετον*] *θεῖτον* Blaydes (coll. Ach. 564).

422. *εἶναί μοι δοκεῖς*] „non videtur esse lurida, sed est" (Kappeyne); vVelsen pro *μὲν γὰρ* (*μὲν* om. V) coniecit *μαινὰς*, sed *maenadi* non est locus et exquisitius dictum esse *μὲν γὰρ* quam quod errori tribuatur recte observavit vBamberg (coll. Pac. 125 Av. 1220). Meineke sola verba „*σὺ δ᾽ εἶ τις*" poetae esse suspicatur (coll. Ach. 407 Nub. 235 Ran. 664, sed vid. quae ad illos locos observavi), vBamberg vero (coll. Plat. Conv. 203 *b*) versum huiuscemodi intercidisse: *σὺ δ᾽ εἶ τίς, <ὦ γραῦ; μῶν προσαιτήσουσα νῷν | προσῆλθες;> ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.*

---

415. *θερμὸν*] *audax, temerarium* [1]).

416. *ἀνθρωπαρίω*] *homunculi!* Simile deminutivum est *ἀνδράρια* [2]).

422. Sermonis quotidiani licentiae indulgens Chremylus brevius minusque concinne loquitur, quippe perterritus. Nam hoc vult dicere: „quis tandem es tu? Gratus quidem esse non potest tuus adventus, quam tam luridam videam".

---

[1]) Vid. ad Eq. 382. — [2]) Ach. 517.

ΒΛΕΨΙΔΗΜΟΣ.

ἴσως Ἐρινύς ἐστιν ἐκ τραγῳδίας·
βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν.

ΧΡΕΜΥΛΟΣ.

ἀλλ' οὐκ ἔχει γὰρ δᾷδας.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐκοῦν κλαύσεται.

ΠΕΝΙΑ.

οἴεσθε δ' εἶναι τίνα με;

ΧΡΕΜΥΛΟΣ.

πανδοκεύτριαν
ἢ λεκιθόπωλιν. οὐ γὰρ ἂν τοσουτονὶ
ἐνέκραγες ἡμῖν οὐδὲν ἠδικημένη.

ΠΕΝΙΑ.

ἄληθες; οὐ γὰρ δεινότατα δεδράκατον,

Blaydes quod proposuit ὠχρά γ' εἶν' Ἐρινύς μοι δοκεῖς, propter elisum -αι displicet (vid. ad Nub. 7), propter vs. 423 ne in censum quidem potest venire. Equidem si coniecturae locum putarem, proponerem *εἶ, ναὶ τοὺς θεούς! sed vid. comment.

423—425. Sic distribuunt V R; vs. 424 sq.[b] Chremylo, 425a et 426b—428 Blepsidemo tribuit A.

424. γέ V] μέν R. || τι R] om. V.

426. τίνα με R] με τίνα V.

428. ἐνέκραγες A] ἀνέκραγες R, ἀνακέκραγες V. || οὐδὲν R] μηδὲν V.

429 sq. δεδράκατον, | ζητοῦντες] δεδρακότε | ζητεῖτον Naber. Si nimis displiceat numerorum inaequalitas, malim quod scripsit Blaydes: δεδράκατε -ντες.

---

424. Frequenter apud comicos praesertim eiusmodi accusativi (obiecta interna) verbo βλέπειν subiunguntur 1).

425. οὐκοῦν κλαύσεται] *male igitur mulcabitur* 2) *ista, quae Furiam agat nec tamen sit Furia.* Non iam timet Blepsidemus personatam istam Furiam.

426—428. Cf. Lysistratae locus, ubi mulieres quae *lentem* 3), vile legumen, et quae vinum panemve venditant in primis immittuntur in hostem ut omnium pugnacissimae et maxime clamosae 4). Etiam locus ex Vesparum initio huc facit, ubi φαλαίνας πανδοκευτρίας vox tribuitur Cleoni 5).

428. ἐνέκραγες] *inclamasses, allatrasses.* Cum composito, quod apud nostrum non redit 6), cf. ἐγγελᾶν et similia.

— οὐδὲν ἠδικημένη] sic infra οὐδὲν ἠδικηκώς 7).

429. οὐ γάρ . . .;] cum indignatione mirantis particulae 8).

1) Vid. ad Ran. 562. — 2) Vid. ad vs. 58. — 3) Lys. 457, 562 Eccl. 1175 Pherecrat. fr. 22 Metagen. 16 Canthar. 10 Anaxandr. 41[41] Alex. 258. — 4) Lys. 457 sq. — 5) Vesp. 35, ubi vid. — 6) Sed vid. Thucyd. VIII 84 § 3 (?) etc.; [illegible] — 7) Vs. 805; vid. etiam ad Ach. 914. — 8) Vid. ad Vesp. 682.

ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;

ΧΡΕΜΥΛΟΣ.

οὔκουν ὑπόλοιπον τὸ βάραθρον γενήσεται;
ἀλλ' ἥτις εἶ λέγειν σε χρῆν αὐτίκα μάλα.

ΠΕΝΙΑ.

ἣ σφὼ ποιήσω τήμερον δοῦναι δίκην,
ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.

ΒΛΕΨΙΔΗΜΟΣ.

ἆρ' ἐστὶν ἡ καπηλὶς ἡ ἐκ τῶν γειτόνων,
ἣ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;

---

431. τὸ βάραθρον U] σοι τὸ β. V, τὸ β. σοι R. || γενήσεται V] γίνεται R.
432. ἥτις A] εἴτις V R, idem legit schol. R. || σε χρῆν R] σ' ἐχρῆν V, ἐχρῆν A; cf. vs. 406, 624, 966 Pac. 1041 Av. 1201 Eccl. 535.
435 sq. Blepsidemi sunt in R, Chremyli in V.
436. ταῖς κοτύλαις ... με] τὰς κοτύλας; ... γε Kappeyne coll. Thesm. 347 sq., sed a relativo enuntiato aliena est γε particula, quae suum locum occupat locis ab illo collatis Alex. fr. 257[1] Aesch. Prom. 42, ubi ἀεί γε orationis initio positum significat *semper profecto* (*toch altijd, doch ja immer, vraiment toujours*).

---

431. *Nonne restabit tibi barathron* [1]), *si ex hac regione pellaris?* Affinis est temporis futuri usus, de quo supra quaedam sunt observata [2]).

432. Item Pisetaerus ad Iridem: *τίς εἶ; ποδαπή; λέγειν σε χρῆν ὁπόθεν ποτ' εἶ* [3]). Ubi item, ut et supra [4]), urgentis est imperfectum *χρῆν*.

434. *ἀνθ' ὧν*] ceteris locis hoc apud nostrum significat *διό*, *quamobrem* [5]), nunc valet id quod *διότι*, *propterea quod*, ut Homericum *οὕνεκα*. Quod cum recentioris sit dictionis [6]), veri est dissimile hanc structuram etiam in Nubium quendam versum e coniectura esse invehendam [7]).

435 sq. Audito „damnum instare" sibi et sodali Blepsidemus „*ecquid*" rogat „*est caupona ista e vicinia, quae adulterato suo vino semper me laedit?*" [8]). Quod capital ratae mulieres vinolentae in Thesmophoriazusis pessima quaevis imprecantur „*εἴ τις κάπηλος ἢ καπηλὶς τοῦ χοὸς | ἢ τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται*" [9]), — de *quantitate* illae praesertim sollicitae. Et in Ecclesiazusis femina, quae pro viro se gerens verba factura est coram populo, nihil habet antiquius quam ut ferat de malis artificiis cauponarum [10]). Nostro loco simillima sunt verba, quibus apud Nicostratum nescio quis fraudulentum cauponem criminatur: *ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων, | ἄν τ' οἶνον ἄν τε φανὸν ἀποδῶταί τινι | ἄν τ' ὄξος, ἀπέπεμψ' ὁ κατάρατος δοὺς ὕδωρ*: *sive vinum poscit quis, sive oleum, sive acetum, aquam ille praebet omnibus* [11]). Verba *ἐκ τῶν γειτόνων e vicinia* leguntur etiam in Lysistrata [12]).

---

1) Vid. ad Ran. 574. — 2) Vid. ad vs. 290 sq. — 3) Av. 1201. — 4) Cf. vs. 406. — 5) Ach. 292 Nub. 623 Eccl. 17 Plut. 840. — 6) Item Plat. Menex. 244 *c* Leg. 321 *a* Lucian. X 22 § 1 etc. — 7) Nub. 1310. — 8) *Laedit*: Hor. Ep. I 17, 8. Praeterea vid. ad Ran. 59. — 9) Thesm. 347 sq. — 10) Eccl. 153—155. — 11) Nicostr. fr. 22. — 12) Lys. 701; praeterea vid. ad Nub. 37.

ΠΕΝΙΑ.

Πενία μὲν οὖν, ᾗ σφῷν ξυνοικῶ πόλλ' ἔτη.

ΒΛΕΨΙΔΗΜΟΣ.

ἄναξ Ἄπολλον καὶ θεοί, ποῖ τις φύγῃ;

ΧΡΕΜΥΛΟΣ.

οὗτος, τί δρᾷς; ὦ δειλότατον σὺ θηρίον,
οὐ παραμενεῖς;

ΒΛΕΨΙΔΗΜΟΣ.

ἥκιστα πάντων.

ΧΡΕΜΥΛΟΣ.

οὐ μενεῖς;
ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;

ΒΛΕΨΙΔΗΜΟΣ.

Πενία γάρ ἐστιν, ὦ πονήρ', ἧς οὐδαμοῦ
οὐδὲν πέφυκε ζῷον ἐξωλέστερον.

---

438. Suo loco habet V, in margine R. || *καὶ*] *ὦ* R. || *τις* R] *τίς οὖν* V.

439. Reisig post *δρᾷς* scribit virgulam, post *θηρίον* signum interrogandi, fortasse recte; vid. tamen Eq. 240 (*; οὐ μενεῖς;*). || *θηρίον*] sic recte h. l. codd.; vid. ad Av. 87.

442. *οὐδαμοῦ* R] om. V.

---

437. Nempe his senibus, ut omnino *τῇ Ἑλλάδι, πενίη μὲν αἰεί κοτε σύντροφος σύνεστι, ἀρετὴ δὲ ἔπακτός ἐστι,... τῇ διαχρεομένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην.* Quae Demarato Herodotus tribuit verba generosa [1]).

438. Viam salutis anxie circumspicientis hoc est [2]); plane vero desperantis foret: „*ποῖ τις ἂν φύγοι;*" [3]) vel: „*ποῖ ἂν φύγοιμι;*" — Cum „*καὶ θεοί*" tum „*τις*" ita adhibitum vidimus supra [4]).

439 sq. Simillimi in Equitibus sunt clamores servi ad recedentem isiciarium: *οὗτος* [5]), *τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα | ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα* [6]). Verbis „*ὦ δειλότατον σὺ θηρίον*" etiam Pisetaerus in Avibus sodalem increpat [7]).

441. *φεύγομεν ...;*] cum indignatione exclamantis est indicativi praesens h. l., ut alibi futurum [8]).

443. Theognide iudice *ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα | καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου, | ἣν δὴ χρὴ φεύγοντα καὶ εἰς βαθυκήτεα πόντον | ῥίπτειν καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων* [9]). Similia apud comicos sunt iudicia de *feneratoribus*: *ἔθνος | τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον* [10]), de *meretricibus*: *συντεμόντι δ' οὐδὲ ἓν | ἔσθ' ἑταίρας ὅσαπερ ἔστι θηρί' ἐξωλέστερον* [11]), de *lenonibus*: *οὐκ ἔστιν οὐδὲν τέχνιον ἐξωλέστερον | τοῦ πορνοβοσκοῦ* [12]).

---

1) Herodot. VII 102. — 2) Item Av. 354 Soph. Ai. 403. — 3) Ut Eur. Or. 598. Cf. supra vs. 374 sq. — 4) Vid. vs. 1 et vs. 252. — 5) Vid. ad Vesp. 1. — 6) Eq. 240 sq. — 7) Av. 87; praeterea vid. ad Eq. 273. — 8) Vid. ad Av. 369. — 9) Theogn. 173 sqq. — 10) Antiphan. fr. 159. — 11) Anaxil. fr. 22[30]. — 12) Diphil. fr. 87[1].

ΧΡΕΜΥΛΟΣ.

στῆθ᾿, ἀντιβολῶ σε, στῆθι.

ΒΛΕΨΙΔΗΜΟΣ.

μὰ Δί᾿ ἐγὼ μὲν οὔ.

ΧΡΕΜΥΛΟΣ.

καὶ μὴν λέγω . . . δεινότατον ἔργον παρὰ πολὺ
ἔργων ἁπάντων ἐργασόμεθ᾿, εἰ τὸν θεὸν
ἔρημον ἀπολείποντέ ποι φευξούμεθα
τηνδὶ δεδιότε, μηδὲ διαμαχούμεθα.

ΒΛΕΨΙΔΗΜΟΣ.

ποίοις ὅπλοισιν ἢ δυνάμει πεποιθότες;

---

444. *στῆθι* R] om. V.
445. *λέγω*] *ὃ λέγω* Bergk, Hartman *λέγω σοι, δεινότατον ἔργον πολύ.*
447. *ἀπολείποντέ* R^1] *-λειπόντε* V, *-λιπόντε* R^2 A. || Adverbium *ποι* molestum ratus Dobree coniecit *ἐργασαμένω* (melius Meineke *ἐργασόμεθα*), *τὸν θεὸν | ἔρημον ἀπολιπόντες εἰ φευξούμεθα | τηνδὶ δεδιότες.* Sed vid. Ach. 1035. || *φευξούμεθα* R] *-οίμεθα* V.
448. *δεδιότε* R] *-τες* V.
449. *ποίοις ὅπλοισιν* Dawes] *ποίοισιν ὅπλοισιν* R^1, *ποίοισιν ὅπλοις* R^2 V. || *δυνάμει*] **κράτει* (quo magis manifesta sit dictio tragica)? || *πεποιθότες*] *-τε* Naber.

---

445. Animum perturbatum — nam vi et verbis sodalem e fuga retrahere conatur Chremylus — prodit oratio abrupta. Expectabatur: *„λέγω σοι ὅτι"*, certe: *„λέγω σοι"*, ut in verbis chori Euripidei de Eurystheo: *σοὶ δ᾿ ὦ κακόφρων ἄναξ | λέγω, εἰ πόλιν ἥξεις, | οὐχ οὕτως ἃ δοκεῖς κυρήσεις* [1]).

— *δεινότατον ἔργον παρὰ πολὺ*] *facinus longe indignissimum.* Cf. verba Pisetaeri: *ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος!* [2]). Non redit apud nostrum *παρὰ πολύ multo, longe* [3]) superlativo additum [4]). Sic apud Thucydidem Cleon dicitur *τῷ δήμῳ παρὰ πολὺ πιθανώτατος* [5]).

447. *ἀπολείποντε*] participium praesentis id in quo rei summa est indicat [6]). Dicit enim id quod: *εἰ τὸν θεὸν ἀπολείψομεν.*

449—451. *At unde arma habebimus? Ista enim ipsa arma nobis eripuit!* — In primis versibus manifestus est color tragicus; quo magis ridicula sunt quae adiunguntur. Nam recte in scholiis observatur *militare* aliquod verbum expectari, non humile illud *oppignerandi* verbum. Egregie vero errat interpres sic pergens: *„φαίνεται δὲ καὶ τῶν ἀπηγορευμένων εἶναι μὴ θεῖναι τὰ ὅπλα ἐνέχυρα."* Qualis lex si unquam fuerit, e nostro loco effecerim abrogatam esse ante Plutum fabulam scenae commissam, nedum fide huius loci — alios autem indicatos non invenio, neque norat is qui *„φαί-*

---

[1]) Eur. Heracl. 372 sqq. — [2]) Av. 1175; praeterea vid. ad Ach. 128. — [3]) Nostrum: *verreweg.* — [4]) Neque alibi apud comicos, nisi Anaxandr. fr. 39^6. — [5]) Thucyd. III 86 § 6; cf. I 29 § 4 II 8 § 4, 89 § 4 VIII 6 § 3. — [6]) Vid. ad Nub. 1212.

ποῖον γὰρ οὐ θώρακα, ποίαν ἀσπίδα
οὐκ . . . ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;

ΧΡΕΜΥΛΟΣ.

θάρρει· μόνος γὰρ ὁ θεὸς οὗτος, οἶδ' ὅτι,
τροπαῖον ἂν στήσαιτο τῶν ταύτης τρόπων.

ΠΕΝΙΑ.

γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;

ΧΡΕΜΥΛΟΣ.

σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
ἡμῖν προσελθοῦσ', οὐδ' ὁτιοῦν ἀδικουμένη;

---

450. ποίαν recc.] ποίαν δ' V R, καὶ ποίαν A. Cf. vs. 786 etc.
452. οὗτος R] om. V.
454. καθάρματε V] -τοι R, -τα A.
456. λοιδορεῖ V¹ R] -ρεῖς V² (cf. Nub. 1140 Pac. 656 Lys. 460), ut dativus ἡμῖν cum προσελθοῦσα iungatur.

νεται" scripsit — eiusmodi legem statuam cum Petito aliisque [1]). Et in *lictores* certe aliquot annis ante non valuisse eam legem loco quodam e Thesmophoriazusis allato demonstrari poterit [2]), si quis iocos comici pro testimoniis afferendos arbitretur.

453 sq. Locutio τροπαῖον στήσασθαι vel θέσθαι a re militari haud raro transfertur ad victorias quae sine acie telisque reportantur; sic Peleus Euripideus de Menelao: ἀλλ' εἷς γε τοιόνδ' ἄνδρ' ἀποβλέψας μόνον | τροπαῖον αὐτοῦ στήσομαι πρέσβυς περ ὤν [3]), et noster de Magnete comico: πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα [4]). Est igitur τροπαῖον ταύτης στήσασθαι = *istam vincere*. Cf. quod alibi dicitur: τροπήν τινος ποιεῖσθαι, *in fugam aliquem conicere* [5]). Quod nunc additur vox τρόποι, apte Bergler cum verborum hoc lusu contulit Plautinum *Poeni poenas* [6]). Infra vox στροφή similem praebet occasionem iocandi [7]).

454. Particulae καί, quae verbo τολμᾶν est adiuncta, — revera tamen ad γρύζειν [8]) pertinet, — eadem est vis in isiciarii ad Paphlagonem verbis: „καὶ κέκραγας, ᾧπερ ἀεὶ τὴν πόλιν καταστρέφει;" [9]) vel ianitoris inferni ad Xanthiam: „εἶεν, καὶ μάχει;" [10]). Vocis καθάρματος idem est usus in versu: „οὐκ ἀποφθερεῖ, κάθαρμα, καὶ ἐκποδὼν ἡμῖν ἄπει;" [11]).

456. ὦ κάκιστ' ἀπολουμένη] frequens vox in ore conviciantium [12]).

457. ἡμῖν] etiam alibi apud nostrum verbo λοιδορεῖσθαι additur dativus [13]).

— οὐδ' ὁτιοῦν ... ἀδικουμένη] ut supra οὐδὲν ἠδικημένη [14]).

---

[1]) Vid. Boeckh Staatsh. I p. 142. — [2]) Vid. Thesm. 1197. — [3]) Eur. Andr. 762 sq.; cf. Aesch. Sept. 276 Eur. Suppl. 647 Hel. 1380. — [4]) Eq. 521; cf. etiam Lys. 318 Thesm. 697. — [5]) Eq. 246. — [6]) Plaut. Cistell. I 3, 54. — [7]) Vs. 1154. — [8]) Vid. ad Ran. 913. — [9]) Eq. 274; vid. etiam ad Eq. 342. — [10]) Ran. 607; praeterea cf. Lys. 442 Thesm. 1089. — [11]) Quem versum Aristophaneum e Suida protulit Nauck Mél. gr.-rom. VI p. 84. Praeterea vid. ad Ran. 733 (ubi del. verba „δημόσιος Eq. 1136"). — [12]) Vid. ad Vesp. 412. — [13]) Vid. Eq. 1400. — [14]) Vs. 428.

ΠΕΝΙΑ.

οὐδὲν γάρ, ὦ πρὸς τῶν θεῶν, νομίζετον
ἀδικεῖν με, τὸν Πλοῦτον ποιεῖν πειρωμένω
βλέψαι πάλιν;

ΧΡΕΜΥΛΟΣ.

τί οὖν; ἀδικοῦμεν τοῦτό σε,
εἰ πᾶσιν ἀνθρώποισιν ἐκπορίζομεν
ἀγαθόν;

ΠΕΝΙΑ.

τί δ' ἂν ὑμεῖς ἀγαθὸν ἐξεύροιθ';

ΧΡΕΜΥΛΟΣ.

ὅ τι;
σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.

ΠΕΝΙΑ.

ἔμ' ἐκβαλόντες; καὶ τί ἂν νομίζετον
κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους;

ΧΡΕΜΥΛΟΣ.

ὅ τι;

---

458. *νομίζετον*] -τε V R; cf. vs. 464.
460. *σε*] γε Naber.
461. *ἀνθρώποισιν ἐκπορίζομεν* (-ζοίμεθ' V) V R] *ἀνθρώποις πορίζομεν* U, Bentley *ἀνθρώποις ἀγαθὸν* (vel -ά) *πορίζομεν* (ut vs. 506 Av. 459), in versu sq. scribens *τί δ' ἂν ποθ'* (cum rec.) vel *τί δῆτ' ἄν*, fortasse recte; compositum tamen *ἐκπορίζειν* redit Vesp. 365, 859 Lys. 421, huic autem loco est aptissimum.
464. *τί* R] *τί δ'* V. ‖ *νομίζετον* V] -τε R. Cf. vs. 458.
465. *ἀνθρώπους* A] -οις V R (cf. Vesp. 1350 Pac. 986).

---

458. *οὐ... γάρ...;*] iram et studium testantur hae particulae, ut supra [1]).

461. *πᾶσιν ἀνθρώποισιν*] solis *probis* hominibus opes praebiturus est Chremylus [2]), sed *nullos* mox *maleficos* futuros arbitratur, nam suum si praemium ferat virtus, brevi fore ut virtus non *post nummos* sed *propter nummos* colatur, cunctos igitur mortales et probos piosque et divites evasuros [3]). Non est igitur in eius mente — licet verbis inesse videatur — consiliorum haec perturbatio, ut modo solos *probos* homines, modo *omnes* beare velit [4]).

— *ἐκπορίζομεν*] callido consilio *expedimus, praebemus* [5]).

---

[1]) Vs. 429; vid. ad Vesp. 682. — [2]) Vs. 386 sqq.; cf. vs. 475. — [3]) Vid. vs. 489—497. — [4]) Vid. annot. crit. ad vs. 475 et Proleg. p. XI, 8. — [5]) Cf. Lys. 421.

εἰ τοῦτο δρᾶν μέλλοντες ἐπιλαθοίμεθα.

ΠΕΝΙΑ.

καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
τὸ πρῶτον αὐτοῦ· κἢν μὲν ἀποφήνω μόνην
ἀγαθῶν ἁπάντων οὖσαν αἰτίαν ἐμὲ
ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς ... —, εἰ δὲ μή,
ποιεῖτον ἤδη τοῦθ' ὅ τι ἂν ὑμῖν δοκῇ.

ΧΡΕΜΥΛΟΣ.

ταυτὶ σὺ τολμᾷς ὦ μιαρωτάτη λέγειν;

ΠΕΝΙΑ.

καὶ σύ γε διδάσκου. πάνυ γὰρ οἶμαι ῥᾳδίως
ἅπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
εἰ τοὺς δικαίους φῂς ποιήσειν πλουσίους.

---

468. *αὐτοῦ*] Brunck *αὐτή* sine iusta causa. || *κἢν*] *κἂν* V R.

470. *τε* V] om. R.

475. Del. Kappeyne, Paupertatem enim de *cunctis* hominibus ditandis perpetuo loqui, solum Chremylum quid velit nescire; quod vitium duabus fabulae editionibus conflatis natum esse ille sibi persuaserat. Sed neque huiusmodi crimine fabulam nostram premi, ne.jue hunc versum male habere, in comment. ad vs. 461 demonstratum ivi; cf. Proleg. p. XI, 8.

---

466. Apposite Bergler laudat versum Plautinum: *facisne iniuriam mihi annon? — Fateor: quia non perdo, maximam* [1]).

467 sq. Iung.: *περὶ τούτου αὐτοῦ, hac ipsa de re.*

470. Insigne hoc exemplum generis loquendi, quod *ἀνανταπόδοτον* vocant grammatici [2]). Apud nostrum redit in Thesmophoriazusarum versu: *„εἰ μὲν οὖν τις ἔστιν ..., εἰ δὲ μή κτέ."* [3]), antiquissimum autem exemplum praebet initium Iliadis in verbis Agamemnonis: *„ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, | ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται ..., | εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι"* [4]). Perantiquum etiam est in lege Gortynia, in qua de puella epiclero post alia haec constituuntur: *„καὶ μέν τις ὀπυίῃ ἐν ταῖς τριάκοντα ἤ κα Ϝείπωντι ..., αἰ δὲ μή, ἄλλῳ ὀπυίεθθαι, ὅτιμι κα νύναται"* [5]).

473. *καὶ σύ γε διδάσκου*] *audeo sane* [6]), *tu autem disce ea* [7]), quippe qui nescias.

---

1) Plaut. Aulul. IV 4, 15. — 2) Vid. Greg. Corinth. p. 47—49 Sch. — 3) Thesm. 536; cf. etiam similis in enuntiatis interrogativis brachylogia Av. 372, 578. — 4) Hom. *A* 135 sqq. — 5) Leg. Gort. VIII$^{17-20}$. Alia exempla extant (Herodot. VIII 80?) Thucyd. (I 82 § 2?) III 3 § 3 IV 13 § 3 Xen. Cyr. IV 5 § 10 VII 5 § 54 Anab. VII 7 § 15 Mem. III 1 § 9, 9 § 11 Plat. Conv. 185 *d* Protag. 311 *d*, 325 *d* Demosth. XXXII § 27 Soph. fr. 402 Eur. 211 (?) Plat. com. 24 Menandr. 718. — 6) Vid. ad vs. 103. — 7) Vid. ad Vesp. 2.

ΧΡΕΜΥΛΟΣ.

ὦ τύμπανα καὶ κύφωνες, οὐκ ἀρήξετε;

ΠΕΝΙΑ.

οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς.

ΧΡΕΜΥΛΟΣ.

καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν ἰοὺ ἰοὺ
τοιαῦτ' ἀκούων;

ΠΕΝΙΑ.

ὅστις ἐστὶν εὖ φρονῶν.

ΧΡΕΜΥΛΟΣ.

τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
ἐὰν ἁλῷς;

476 et 478 sq. Chremylo dat A, Blepsidemo V R.
476. καὶ] ὦ Bentley.
480. ἐπιγράψω V] ἐπεγράψω R.

476. *Fustuario supplicio* sive ξυλοκοπίᾳ [1]) Chremylus dignam habet anum talia perhibentem.

— τύμπανα] sic dicebantur *fustes*, quibus homicidae ceterique malefici (κακοῦργοι) ultimo supplicio afficiebantur publice, ἀπετυμπανίζοντο [2]). Itaque Lysimachus quidam, qui ex ipsis carnificis manibus vita salva fuerat ereptus, exinde „ὁ ἀπὸ τοῦ τυ(μ)πάνου" cognomine non admodum honorifico [3]) inter cives — an in sola scena comica? — est designatus [4]).

— κύφωνες] horum etiam infra [5]) fit mentio. Erat κύφων lignum collo inserendo; sic apud Cratinum commemoratur nescio quis nebulo ἐν τῷ κύφωνι τὸν αὐχέν' ἔχων [6]). Non sedisse autem rectosve stetisse homines κύφωνι inclusos sed *quadrupedes esse constrictos* [7]) ipsum nomen a verbo κύπτειν ductum testatur. Itaque tuto statueris aut nullum aut perexiguum fuisse discrimen inter τὸν κύφωνα et τὸ πεντεσύριγγον ξύλον [8]). — A grammaticis affertur locutio proverbialis: ἐκ παντὸς ἂν ξύλου κύφων γένοιτ' ἄν [9]), e comoedia aliqua desumta, opinor.

— οὐκ ἀρήξετε;] tragicae dictionis hoc verbum nec nisi in parodia apud nostrum obvium [10]) ludicre discrepat a vocibus parum poeticis, quibus subiunctum est.

477. Sic Sophocleus Neoptolemus ad Philoctetem „οἴμοι, τί εἶπας!" clamantem: „μὴ στέναζε" ait „πρὶν μάθῃς" [11]).

478. καὶ ...;] animi commoti indicium particula [12]).

[1]) Polyb. VI 37. — [2]) Lys. XIII § 56, 67 sq. Demosth. IX § 61. — [3]) Quasi nostras aliquis dicatur: *van de galg gedropen*. — [4]) Teste [Aristot.] Rep. Ath. 45. — [5]) Vs. 606. — [6]) Cratin. fr. 115. — [7]) Ter. Andr. V 2, 24. — [8]) Eq. 1049; vid. etiam ad Nub. 592. — [9]) Zenob. IV 7 emendatus a Valckenaerio. — [10]) Cf. Vesp. 402 Thesm. 696 Lys. 303 (vitio debetur Lys. 459). — [11]) Soph. Phil. 917. — [12]) Vid. ad Nub. 210.

ΠΕΝΙΑ.

ὅ τι σοι δοκεῖ.

ΧΡΕΜΥΛΟΣ.

καλῶς λέγεις.

ΠΕΝΙΑ.

τὸ γὰρ αὔτ', ἐὰν ἡττᾶσθε, καὶ σφῷ δεῖ παθεῖν.

ΧΡΕΜΥΛΟΣ.

(ad amicum:)

ἱκανοὺς νομίζεις δῆτα θανάτους εἴκοσιν;

ΒΛΕΨΙΔΗΜΟΣ.

ταύτῃ γε· νῷν δὲ δύ' ἀποχρήσουσιν μόνω.

ΠΕΝΙΑ.

οὐκ ἂν φθάνοιτε τοῦτο πράττοντες· τί γὰρ

481c. Chremylo tribuit V, Blepsidemo R.
482. ἡττᾶσθε καὶ] ἡττᾶσθαι καὶ V, ἡττᾶσθαι R.
483 sq. Priorem Blepsidemo alterum Chremylo tribuit A.
485. τί γὰρ Porson] εἴ (ἢ R corr.) τι γὰρ V R, ἢ τί γ' ἂν A, πράττοντ' · ἢ τί (γ') ἂν Ald. alii, sed alienum hinc est ἤ.

---

483. Ridicule urgetur oratorum illud: „unam mortem non sufficere ad tale scelus luendum." Sic e. g. accusator Ergoclis praetoris, qui hoc ipso tempore perduellionis denuntiatus est et damnatus [1]): „*οὐκ ἄν μοι δοκεῖ δύνασθαι Ἐργοκλῆς ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων αὐτῷ οὐδὲ πολλάκις ἀποθανὼν δοῦναι δίκην ἀξίαν τῷ ὑμετέρῳ πλήθει*" [2]). Neque aliena a nostro loco sunt verba hominis apud Aristophontem comicum „ni verum sit quod perhibeat, *κρέμασθαι δεκάκις*" paratum se dicentis [3]).

484. *Nobis vero una mors singulis sufficiet, satis superque erit* [4]). — Aut *binas* sibi sodalique nunc mortes imprecatur Blepsidemus, aut cavillatur Thucydides Herodotum regibus Lacedaemoniis bina suffragia tribuisse perhibens [5]).

485 sq. *Recta igitur mortem oppetere* eos iubet Paupertas, fieri enim non posse ut superiores e verborum certamine evadant. Est „*τοῦτο πράττειν*" *id agere de quo modo sermo fuit* [6]), *τὸ ἀποθανεῖν* igitur h. l., quemadmodum in verbis Thucydidis: *φανεροῦ γενομένου τοῦ Βρασίδου ... θυομένου καὶ ταῦτα πράσσοντος* [7]) id quod *τὰ περὶ τὴν θυσίαν* valet *ταῦτα*. Neglegentius inserta est particula *ἔτι*, cuius vis ut appareat, ex uno enuntiato duo faciamus oportet: „*τί γὰρ ἂν ἀντείποι τις* (i. e. *τί γὰρ ἂν ἀντείποιτε*) *ἔτι, οὐ γὰρ ἂν ἔχοιτε δίκαιόν τι ἀντειπεῖν*". — Cf. Praxagora in Ecclesiazusis fabula verborum certamen iniens: *ἀλλ' ἀποφανῶ τοῦθ', ὥστε σέ τέ μοι μαρτυρεῖν, | καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἔτι* [8]).

485. *οὐκ ἂν φθάνοιτε*] infra et in Ec-

---

[1]) Vid. ad vs. 550. — [2]) Lys. XXVIII § 1. Vid. etiam Plat. Rep. 615 *b* Leg. 908 *d*. — [3]) Aristophont. fr. 9[10]. — [4]) Vid. Av. 1603. — [5]) Vid. Thucyd. I 20 § 5 coll. Herodot. VI 57. — [6]) Vid. ad Av. 181 et infra ad vs. 845. — [7]) Thucyd. V 10 § 2. — [8]) Eccl. 569 sq.

ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι;

SCENA OCTAVA.

Eidem, Chorus.

ΚΟΡΥΦΑΙΟΣ.

ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφόν, ᾧ νικήσετε τηνδὶ
ἐν τοῖσι λόγοις ἀντιλέγοντες, μαλακὸν δ' ἐνδώσετε μηδέν.

ΧΡΕΜΥΛΟΣ.

φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους τούτων τἀναντία δήπου.
τούτου δ' ἡμεῖς ἐπιθυμοῦντες, μόλις ηὕρομεν ὥστε γενέσθαι

---

487. χρῆν V R] χρή U non male (cf. vs. 607 et vid. ad Eq. 751). || ᾧ R] ὡς V.
488. δ' V] τ' R.
492. τούτου δ' Kappeyne] τοῦτ' οὖν V R; cf. Eq. 509. Blaydes coniecit μόλις οὖν ἡμεῖς ἐπιθυμοῦντες τοῦθ' ηὕρομεν. || ηὕρομεν] εὕρομεν V R.

---

clesiazusis redit locutio, quae est vehementer neque sine risu quodam cohortantium [1]).

488. μαλακὸν δ' ἐνδώσετε μηδέν] elegans hic est verbi ἐνδοῦναι usus. Quod proprie suum obtinet sensum in verbis Bdelycleonis oratores assimulantis hominibus serrantibus, quorum ὁ μὲν ἕλκει ὁ δ' ἀντενέδωκεν [2]). Hinc in *cedendi, concedendi* notionem [3]) transfertur; itaque senes in Lysistrata de mulieribus, „εἰ γάρ ἐνδώσει τις" — aiunt — „ταῖσδε κἂν σμικρὰν λαβήν, *actum erit de nobis*" [4]); item apud Thucydidem: „εἴ τι μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι" [5]), et μαλακόν τι ἐνδοῦναι dicitur is qui parum strenue neque summa virium intentione certat [6]), οὐκ ἐντόνως [7]) ἀλλ' ἀνειμένως [8]). Cf. μαλάττεσθαι eodem sensu dictum in Equitibus [9]) et ἐκβαλεῖν τι μαλθακόν in Ranis [10]). Ceterum paullo neglegentius instituitur hoc enuntiatum, quod licet relativo ᾧ subnectatur, revera tamen ellipticum illud ὅπως cogitandum est potius [11]).

489. φανερὸν ... γνῶναι] infinitivus finalis ex abundanti additus est, ut supra [12]), et melius abesset.

490 sq. Quod *aequum* nunc dicit Chremylus, id *ex re* publica et cunctorum mortalium esse perhibet Agamemnon Euripideus: πᾶσι γὰρ κοινὸν τόδε | ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν | κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν [13]).

492 sq. Cf. verba Strepsiadis: νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων μόλις [14]) | μίαν ηὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ [15]). Qualis

---

1) Vs. 874, 1133 Eccl. 118; item Herodot. VII 162 Eur. Alc. 662 Or. 936 etc., praeterea cf. Av. 1017. — 2) Vesp. 694. — 3) Item brit. *to give in*, nos *toegeven*. — 4) Lys. 671, ubi vid.; item λόγον ἐνδοῦναι Eur. Andr. 965. — 5) Thucyd. II 12 § 1; cf. 18 § 5 IV 37 § 1 VI 72 § 2 VIII 1 § 3 Herodot. I 91 Soph. Oed. R. 61 Eur. Andr. 225 etc. — 6) Redit locutio Herodot. III 51, 105 Eur. Hel. 508; de recentiorum imitatione cf. Cobet ad Dion. Hal. p. 15. — 7) Vid. ad Ach. 666. — 8) Vid. ad Vesp. 574 Ran. 700. — 9) Eq. 389. — 10) Ran. 595. — 11) Vid. ad Nub. 489. — 12) Vid. vs. 48 sq. — 13) Eur. Hec. 902 sqq. — 14) Recte ut arbitror sic Blaydes pro ὁδοῦ. — 15) Nub. 75 sq.

βούλευμα καλὸν καὶ γενναῖον καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
ἢν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοστῇ,
ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται κοὐκ ἀπολείψει,
τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται· κᾆτα ποιήσει
πάντας χρηστοὺς — καὶ πλουτοῦντας δήπου! — τά τε θεῖα σέβοντας.
καίτοι τούτου τοῖς ἀνθρώποις τί ἂν ἐξεύροι τις ἄμεινον;

ΒΛΕΨΙΔΗΜΟΣ.

οὐδέν· ἐγώ σοι τούτου μάρτυς. μηδὲν ταύτην γ' ἀνερώτα.

ΧΡΕΜΥΛΟΣ.

ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,

---

493. *βούλευμα* Par. 2827] *-λημα* VR. Idem vitium est Soph. Ai. 44.
497. *καὶ πλουτοῦντας*] *καὶ πλουτῆσαι* (coll. vs. 388) vBamberg, *πλουτεῖν ὄντας* (coll. vs. 502) vel *πλουτεῖν χρηστοὺς ὄντας* Blaydes; sed vid. comment.
498. *τί ... τις* Cobet] *τίς ... ποτ'* VR; *TIC* in *ΠΟ(τ)* abiit; cf. vs. 805.
499. *οὐδέν* Cobet] *οὐδεὶς* VR metro invito, *οὐδεὶς ἄν· ἐγὼ τούτου μάρτυς* Bentley.

---

locis *μόλις* non *vix* valet sed *tandem aliquando*.

492. *ηὕρομεν ὥστε γενέσθαι κτέ.*] item alibi: *ἐξηῦρες ὥστ' ἀζημίους | παίζειν τε καὶ χορεύειν* [1]).

493. *χρήσιμον εἰς ἅπαν ἔργον*] sic Theramenem *δεινὸν εἰς τὰ πάντα* dicit Dionysus Aristophaneus [2]).

494. *βλέψῃ καὶ μὴ τυφλὸς ὢν περινοστῇ*] *visum recuperabit nec iam caecus oberrabit* [3]). Notabilis haec sed minime inutilis est dictionis abundantia [4]).

496 sq. *Ita autem efficiet Plutus ut omnes fiant probi — et, quod per se intellegitur, divites — et pii.* Fient omnes *χρηστοὶ καὶ εὐσεβεῖς*, quoniam videbunt solis probis piisque favere divitiarum deum; *οὐχ „ὅταν ᾖ βίος" ἀρετὴν ἀσκήσουσιν, ἀλλ' ἵνα γένηται.* Praeterea, id quod iam dictum est et ipsa res id fert [5]), *divites* omnes evadent. Et revera evadunt in fabulae exitu [6]).

499. Sic Aeschylo in Ranis adversarium Euripidem interroganti: *„si demonstravero te non meliores reddidisse „cives sed e probis et generosis fecisse „pessimos, τί παθεῖν φήσεις ἄξιος εἶναι;"* Dionysus non rogatus respondet: *„τεθνάναι! μὴ τοῦτον ἐρώτα"* [7]). Cf. etiam Euelpides in Avibus *„ἐμὲ τουτό γ' ἐρώτα!"* exclamans et exemplo e sua ipsius vita petito illustrans id quod demonstratum ivit orator [8]). Ubi quas partes agunt Dionysus et Euelpides, iocularia disputationi identidem intermiscentes, eas Blepsidemo nunc tribuit comicus; et alibi quoque altercantium argumenta et crimina tertius aliquis interstrepere solet histrio, ne nimis serio tractari videantur seria. Sed quae nunc profert Blepsidemus, multo minus sunt festiva quam quae comicus tum, cum florebat eius ingenium, excogitavit ad eiusmodi verborum certamina exhilaranda.

---

1) Ran. 406 sq. — 2) Ran. 968. Vid. etiam supra vs. 273. — 3) Vid. ad Ach. 29. — 4) Vid. ad Av. 555. — 5) *δήπου*, nostrum *natuurlijk*; item vs. 519, 523 etc. — 6) Vid. vs. 1178. — 7) Ran. 1012. — 8) Av. 492.

τίς ἂν οὐχ ἡγοῖτ' εἶναι μανίαν κακοδαιμονίαν τ' ἔτι μᾶλλον;
πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροί,
ἀδίκως αὐτὰ ξυλλεξάμενοι· πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ
πράττουσι κακῶς καὶ πεινῶσιν μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.

ΒΛΕΨΙΔΗΜΟΣ.

οὔκουν εἶναί φημ', εἰ παύσει ταύτην βλέψας ποθ' ὁ Πλοῦτος,
ὁδὸν ἥν τις ἰὼν τοῖς ἀνθρώποις ἀγάθ' ἂν μείζω πορίσειεν.

---

501. *τ' ἔτι* R] *τε* V.
502. *γὰρ* R] om. V.
503. *αὐτὰ*] *πολλὰ* Reiske non recte, nam non in hanc vocem sed in adverbium *ἀδίκως* incumbit orationis pondus; *αὐτὸν* Hemsterhuis.
504. *τε* R] *γε* V.
505 sq. Blepsidemo dedit Porson; in V R continuantur Chremylo. Transitus a 2a persona ad 3am (*μετὰ σοῦ* vs. 504, *ταύτην* vs. 505) testatur alterum iam loqui senem.
505. *εἰ* V R] *ἢ* A. ‖ *παύσει*] *παῦσαι* R. ‖ *ταύτην βλέψας* R] *ταῦτ ἣν βλέψηι* V (*βλάψη* olim quidam teste scholio), *ταυτὶ* vel *ταῦτα βλάψας* Meineke.
506. *τις* Bentley] *τιν'* V R; vid. comment.

---

501. *μανίαν κακοδαιμονίαν τ' ἔτι μᾶλλον*] ***dementiam, immo vesaniam divinitus immissam***; *οὐ μόνον χολᾶν ἀλλὰ καὶ κακοδαιμονᾶν δοκοῦσιν* [1]).

502—504. „*πολλοὶ γὰρ πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται*", priscus dixerat poeta [2]), qui quod generose addebat: „*ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα | τῆς ἀρετῆς τὸν πλοῦτον*", id minime iam valet. Hactenus *οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν* [3]), iam soli *probi* mortales divites sunt futuri.

503. *αὐτὰ*] i. e. *τὸν πλοῦτον* sive *τὰ χρήματα*, quae vox e verbo *πλουτεῖν* facile elicitur [4]).

504. *μετὰ σοῦ ... σύνεισιν*] idem infra valet *μετά τινος εἶναι* [5]), abundat enim *συν-* praepositio. Apud nostrum haec structura non redit [6]); alibi dicit *συνεῖναί τινι*. Conferri possunt loci ubi *ξυμπίνειν*, *ξυμπαίζειν*, *ξύμμαχος εἶναι μετά τινος* et similia dicuntur [7]).

505. *εἰ παύσει ταύτην*] saepius sic dicitur *παύειν τινά* non addito participio vel genitivo rei [8]).

506. Etiam Blepsidemus nunc recordatur poetae elegiaci, qui cum patre deumque hominumque expostulans „*cur tandem*" querula voce rogabat „*οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσι, | οὐδ' ὁδὸς ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι;*" [9]). — *Mortalibus* certe qua gratum fiat reperta iam est via [10]). Priscorum verborum imitatio effecit ut *ἥν* diceret Blepsidemus [11]); nam post *οὐ* generale (= *οὐδεμία*) expectabatur *ἥντινα*.

---

[1]) Vid. vs. 372. — [2]) Solon. fr. 15 (= Theogn. 315 sqq.); cf. fr. 13⁷. — [3]) Menandr. fr. 294 (= vs. 42 novi fragmenti Colacis, Oxyrhynchus papyri III 1903 p. 22). — [4]) Vid. ad vs. 845. — [5]) Vs. 1081. — [6]) Sed legitur etiam Eur. El. 943 Plat. Leg. 639 c Aristomen. fr. 2 Eubul. 9². — [7]) E nostro locos collegit Sobolewski de Praepos. p. 232 (ubi del.: „Ran. 1513"). Vid. etiam infra ad vs. 823. — [8]) Vid. ad Eq. 330. — [9]) Theognid. 381 sq. — [10]) De voce *ὁδῷ* vid. ad Eq. 1015 Ran. 897. — [11]) Si recte sic scripsit Bentley; vid. ann. crit. et cf. Eur. Or. 308 alibi.

ΠΕΝΙΑ.

ἀλλ', ὦ πάντων ῥᾷστ' ἀνθρώπων ἀναπεισθέντ' οὐχ ὑγιαίνειν
δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν,
εἰ τοῦτο γένοιθ' ὃ ποθεῖθ' ὑμεῖς, οὔ φημ' ἂν λυσιτελεῖν σφῷν.
εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν διανείμειέν τ' ἴσον αὐτόν,
οὔτε τέχνην ἂν τῶν ἀνθρώπων οὔτ' ἂν σοφίαν μελετῴη
οὐδείς· ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν, ἐθελήσει
τίς χαλκεύειν ἢ ναυπηγεῖν ἢ ῥάπτειν ἢ τροχοποιεῖν
ἢ σκυτοτομεῖν ἢ πλινθουργεῖν ἢ πλύνειν ἢ σκυλοδεψεῖν
ἢ „γῆς ἀρότροις ῥήξας δάπεδον καρπὸν Δηοῦς θερίσασθαι",

507. *πάντων ῥᾷστ' ἀνθρώπων* R] *πάντἀνων ῥᾷστ'* V.
510. *βλέψειε* R] *νυνὶ βλέψειε* V. ‖ *αὐτόν* R[2]] *ἑαυτόν* V R[1].
511. *οὔτε τέχνην ἂν* R] *οὔτ' ἂν τέχνην* V. ‖ *οὔτ' ἂν* U] *οὔτε* V R.
512. *ἀμφοῖν ... τούτοιν*] *τούτοιν ... ἀμφοῖν* Meineke.
514. *σκυλοδεψεῖν* Bentley (ut Av. 490 Eccl. 420)] *σκυτοδεψεῖν* R, *βυρσοδεψεῖν* V.
515. *ῥήξας* R] *πήξας* V.

508. *ξυνθιασώτα κτέ.*] redit vox in Vespis [1]). Praeterea cf. *φράτερες τριωβόλου* cognomentum ioculare heliastarum [2]).

— *τοῦ ... παραπαίειν*] *delirandi* [3]).

509. *εἰ ... γένοιτο*] ,optativi haec est vis: *finge — absit autem omen neque fieri credibile —, sed tamen finge fieri* [4]).

510—531. Multis verbis hoc loco demonstrat Paupertatis dea id quod in Ecclesiazusis sic dicit: „*οὐδεὶς οὐδὲν πενίᾳ δράσει*" [5]).

510 sq. Falsum est id quod ipse perhibebat Chremylus, *Plutum* esse qui artes et inventa hominum in lucem protulerit alter Prometheus [6]); *κακόν τι παίδευμ' ... εἰς εὐανδρίαν | ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί* [7]). Ista si fieret divitiarum „*ἰσονομία*", merum foret malum. Nam qui *omnia vincit Labor est improbus et duris urgens in rebus Egestas* [8]). *Paupertas artes omnes perdocet ubi quem attigit* [9]), Paupertas est quae homines sollertes et ingeniosos reddit fortunamque corrigere docet, *καὶ πρὸς τὰς τέχνας δεινοτέρους καὶ πρὸς τὸν βίον τεχνικωτέρους* reddens [10]); *ἁ πενία τὰς τέχνας ἐγείρει*, ut cecinit poeta doricus [11]). *Ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις, | πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές* [12]). Idem dicebat Diotima illa, cuius verba affert Socrates apud Platonem: „*Ἔρωτα* esse filium *Πόρου* et *Πενίας*", — studium ingenii humani in melius semper enitentis e necessitate esse natum.

513 sq. Id de se ipsa praedicat Paupertas, quod de Pluto perhibuit Chremylus fabulae initio [13]).

514. *πλινθουργεῖν*] *lateres effingere* [14]).

515. Non suis verbis utitur Paupertas „*γῆς δάπεδον*" et „*καρπὸν* [15]) *Δηοῦς*" di-

[1]) Vid. Vesp. 728. — [2]) Eq. 255. — [3]) Vid. ad Eq. 531 Nub. 640. — [4]) Vid. ad Lys. 235 sq. — [5]) Eccl. 605. — [6]) Vid. supra vs. 160 sqq. — [7]) Eur. fr. 55. — [8]) Verg. Georg. I 145 sq. — [9]) Plaut. Stich. II 1, 24. — [10]) Anaximenes apud Stobaeum Floril. XCVII 22; in quo capite multi collecti sunt veterum loci ubi cum divitiis comparatur paupertas. — [11]) Theocrit. XXI 1. — [12]) Eur. fr. 642. — [13]) Vs. 160 sq.; praeterea cf. Av. 490 sq. — [14]) Vid. ad Av. 1139. — [15]) De hac voce vid. ad Nub. 1119.

ἣν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;

ΧΡΕΜΥΛΟΣ.

λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ', ὅσα νῦν δὴ κατέλεξας,
οἱ θεράποντες μοχθήσουσιν.

ΠΕΝΙΑ.

πόθεν οὖν ἕξεις θεράποντας;

ΧΡΕΜΥΛΟΣ.

ὠνησόμεθ' ἀργυρίου δήπου.

ΠΕΝΙΑ.

τίς δ' ἔσται πρῶτον ὁ πωλῶν,
ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ;

ΧΡΕΜΥΛΟΣ.

κερδαίνειν βουλόμενός τις,
ἔμπορος ἥκων ἐκ Θετταλίας, παρὰ λῃστῶν ἀνδραποδιστῶν.

ΠΕΝΙΑ.

ἀλλ' οὐδ' ἔσται πρῶτον ἁπάντων οὐδεὶς οὐδ' ἀνδραποδιστὴς

---

516. *ὑμῖν* R] *ὑμῖν οὖσι* V, *οὖσιν* Bergk (sed vid. vs. 922 Nub. 334 etc.), *πᾶσιν* vVelsen (vix probabiliter, cum sequatur *πάντων*), *αὐτοῖς* dubitanter vBamberg.

517. *δὴ* R] om. V.

519. *πρῶτον* R] *πρῶτ°* V.

521. *λῃστῶν* Bergk et Kappeyne e scholiis] *πλείστων* V R, *παρ' ἀπίστων* vel *παρ' ἀπλήστων* Hemsterhuis, qui optimo iure e scholiis effecit alteram lectionem *ἀπίστων* olim fuisse; sed eiusmodi *epitheton* sententia non admittit, non enim *vituperantur* nunc isti homines, sed respondetur ad quaestionem undenam mancipia posthac habituri sint cives. Litterae *ΠΑΡΑΛΗΙΣΤΩΝ* olim male lectae sunt *ΠΑΡΑΛΠΙΣΤΩΝ*, et *πλείστων* quomodo nata sit lectio docet V, in quo praepositio *παρά* noto signo est scripta: *π̈λείστων* in *π̓πλείστων* abiit. Kappeyne ante *ἀνδραποδιστῶν* inserebat praeterea *καί*, quod melius videtur omitti.

---

cens, sed priscum aliquem versum nunc quoque comicus imitatur. Nam sic potius statuo quam *„τοῦτο τὸ ἔπος τῆς μέσης κωμῳδίας ὄζειν"*, quae scholiastae sunt verba.

517. *λῆρον ληρεῖς*] item femina in Thesmophoriazusis: *πείθει τι τούτῳ . . . ληροῦντι λῆρον;* [1]).

519 et 522. *πρῶτον*] id quod ante alia reputandum est indicat nunc adiectivum; item alibi [2]).

521. *ἔμπορος ἥκων*] *qui ab itinere ad mercaturam faciendam suscepto e Thessalia praedonum plagiariorum* [3]) *patria* domum advexerit id quod illic vile, in Attica pretiosum [4]). Locutio *ἔμπορος ἥκων* id quod *ἥκων ἐξ ἐμπορίας* etiam infra valet [5]).

522. Cum verbum *ἔσται* tum nomen

---

[1]) Thesm. 880; praeterea vid. ad Ach. 177. — [2]) Vid. ad Lys. 497. — [3]) Cf. Eq. 1030 Pac. 449 Thesm. 818. — [4]) Cf. Ach. 899 sqq. — [5]) Vid. vs. 1179.

κατὰ τὸν λόγον ὃν σὺ λέγεις δήπου. τίς γὰρ πλουτῶν ἐθελήσει
κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὑτοῦ τοῦτο ποιῆσαι;
ὥστ' αὐτὸς ἀροῦν ἐπαναγκασθεὶς καὶ σκάπτειν τἄλλα τε μοχθεῖν
ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.

ΧΡΕΜΥΛΟΣ.

εἰς κεφαλήν σοί!

ΠΕΝΙΑ.

ἔτι δ' οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν, — οὐ γὰρ ἔσονται, —
οὔτ' ἐν δάπισιν, — τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυσίου ὄντος, —
οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον,
οὐθ' ἱματίων βαπτῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
καίτοι τί πλέον πλουτεῖν ἔσται τούτων πάντων ἀποροῦντι;

523. *δήπου* R] om. V.
524. *κινδυνεύων* V] *-ειν* R.
525. *τἄλλα τε* R] *καὶ* V.
526. *σοί* Dindorf] *σοι* V R.
528. *δάπισι(ν)* R] *δάπησι* V, *τάπησιν* A (notabile *παραδιορθώσεως* exemplum, qualia multa habet A).
531. *πλουτεῖν ἔσται* Porson] *π. ἐστὶ* V, *π. ἐστὶν* R, *τοῖς πλουτοῦσιν* Hirschig. || *τούτων πάντων* V] *πάντων τοῦτ'* R (cf. vs. 927 et 1087). || *ἀποροῦντι* Valckenaer] *-ντα* R, *-ντας* V. Cf. Eccl. 1094.

ἀνδραποδιστής adiunctam sibi habet negationem *οὐδέ*, confluxerunt enim duo enuntiata, quorum alterum erat: *at ne erit quidem plagiarius ullus*, alterum: *at ne plagiarius quidem erit ullus.*

523 sq. Nam nisi paupertas impellat audax, quis velit per mare per terras circumvagari *οἷά τε ληϊστῆρες, ψυχὴν παρθέμενος*? — Morte multabatur si quis homines liberos vi vel mala fraude in servitutem redegisset [1]).

526. *τρίψεις βίοτον*] *aetatem* (vitae curriculum) *teres* [2]), *ἄξεις ἐπι-* vel *κατατριβόμενος* [3]).

— *εἰς κεφαλήν σοί!*] *istic capiti dicito!* [4]) *absit omen! di meliora! ἀπεύχομαι!* [5]).

528. *δάπισιν*] etiam in Vespis inter pretiosiora recensentur [6]).

529 sq. *μυρίσαι ... κοσμῆσαι*] obiectum *σεαυτόν* neglegentius omissum. Unguentorum usum saepius iocose noster commemorat [7]), hic autem etiam nuptiarum mentio risum movet, cum ad senes duos haec dicantur.

530. *βαπτῶν*] *purpureorum* [8]).

531. *τί πλέον ... ἔσται*] item in Ecclesiazusis: *οὐδὲν ἔσται σοι πλέον* [9]), *quid* vel *nihil tibi proderit* [10]). Quae locutio

[1]) Vid. Demosth. IV § 47 Lycurg. apud Harpocrat. s. v. *ἀνδραποδιστής*. — [2]) Item Pac. 589 Eupol. fr. 52 Diocl. 14 Eubul. 68 Soph. El. 602 etc. — [3]) Vid. Ran. 571 Pac. 355 Nub. 260, 1004. — [4]) Plaut. Rudent. III 6, 47. — [5]) Vid. ad Nub. 40 Thesm. 714. — [6]) Vesp. 676. — [7]) Vid. Lys. 938 sqq. Eccl. 524 sq., 1117 Archestratus apud Athen. 101 c Xenoph. Conv. 2 § 3 sq. etc. — [8]) Vid. ad Av. 287. — [9]) Eccl. 1094. — [10]) Nos: *dan zijt gij nog niets verder.*

παρ' ἐμοὶ δ' ἔστιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν, ὧν δεῖσθον· ἐγὼ γὰρ
τὸν χειροτέχνην ὥσπερ δέσποιν' ἐπαναγκάζουσα κάθημαι
διὰ τὴν χρείαν καὶ τὴν πενίαν ζητεῖν ὁπόθεν βίον ἕξει.

ΧΡΕΜΥΛΟΣ.

σὺ γὰρ ἂν πορίσαι τι δύναι' ἀγαθόν; — πλὴν φῴδων ἐκ βαλανείου,
καὶ παιδαρίων ὑποπεινώντων καὶ γραϊδίων κολοσυρτόν!

---

532. *ἐμοὶ* V] *ἐμοῦ* R.
534. *καὶ τὴν πενίαν*] *καὶ τὴν πεῖναν* Meineke, melius (nam *πεῖνα* non est comicorum) vVelsen *ἵνα μὴ πεινῇ*.
535. *τι* Blaydes] *τί* V R; cf. Nub. 1423 Av. 369 Ran. 1064. ‖ *φῴδων*] *φῳδάς γ'* Blaydes, fortasse recte.
536. *κολοσυρτόν*] *-τοῦ* Bentley, sed vid. comment.

---

ea aetate ex ore poetarum [1]) in sermonem quotidianum migrasse videtur. Apud nostrum alibi non occurrit, apud alios saepius leguntur: *τί, οὐδὲν πλέον ἐστί* vel *ἔσται* [2]), *τί* vel *οὐδὲν πλέον ἔχουσιν* [3]), *τί ποιεῖς πλέον;* [4]) et similia. Cf. comparativi qui est usus in locutione *οὐ χεῖρον* vel *οὐ γὰρ ἄμεινον*, et quod infra legitur: *τί ὄφελος;* [5]).

532. *At apud me praesto sunt vobis ea ipsa quae requiritis.* Sic alibi „*παρὰ θεοῖσιν*" optata quaevis esse dicuntur [6]).

533. *χειροτέχνην*] *opificem.* Vox infra redit [7]); cf. prisca *χειρῶναξ* et *χειρωναξία* [8]) et poetica *χειρουργός* [9]) *χειρουργία.*

535. *πορίσαι τι . . . ἀγαθόν*] item in Avibus: *ἀγαθὸν πορίσας* [10]).

— *φῴδων*] *vesicularum* [11]), quas in cute hominum male vestitorum et aëris inclementiae subinde expositorum ciet ardor ignis in tepidario, quo tempore hiemali confugiunt ut aliquantisper calefiant, *θερούμενοι*, ut dicitur infra [12]). E quibus locis fortasse efficere licet Lenaeis, non Liberalibus nostram fabulam datam [13]). — Cantorum epicorum aevo „*δόμον χαλκήιον*" vel „*ἐπαλέα λέσχην*" adibant mendici frigentes [14]), balnea scilicet publica tunc temporis nulla erant. Apud Plutarchum autem commemoratur Metrocles philosophus Cynicus *χειμῶνος ἐν τοῖς προσβάτοις* [15]) *καθεύδων καὶ θέρους ἐν τοῖς προπυλαίοις τῶν ἱερῶν* [16]). In Ecclesiazusis fingitur Euaeon orator popularis in concione suadens ut hominibus egenis in coriariorum officinis refugium paretur [17]).

536—540. Variatur oratio. Nam post *πλὴν φῴδων* [18]) expectantur plures genitivi a particula *πλήν* suspensi; sed ipsi verbo *πορίσαι* sequentia subiunguntur: *κολοσυρτόν* et (paucis interiectis) *ἔχειν.*

536. *γραϊδίων κολοσυρτόν*] *turbam* [19]) *anicularum.* Vocis *γραϊδίων* syllaba prima et secunda metri causa nunc non contrahuntur.

---

[1]) Vid. Soph. Ant. 268 Eur. Alc. 745 Hel. 322 Heracl. 466. — [2]) Cratet. fr. 14^3 Menandr. 482^1 Isocr. XVII § 21, saepius apud Platonem Demosthenem alios. — [3]) Menandr. fr. 74^2, 533^6. — [4]) Philemon. fr. 73^7. — [5]) Vs. 1152. — [6]) Vid. ad vs. 131. — [7]) Vs. 617, vid. etiam Vesp. 1276; item Thucyd. VI 72 § 3 Xen. Mem. III 11 § 4 Plat. Protag. 328 *a* etc. — [8]) Herodot. I 93 II 167 etc. — [9]) Vid. ad Lys. 673. — [10]) Av. 459. — [11]) Redit vox in Cocali fabulae fr. 345; cf. *φῴζειν torrere* Stratt. fr. 65. — [12]) Vs. 953. — [13]) Vid. etiam vs. 896. — [14]) Hom. *σ* 328 sq. Hes. Oper. 493. — [15]) Sic Naber pro *προβάτοις*, quem vide Mnemos. 1900 p. 147. — [16]) Plut. Mor. 499 *a*. — [17]) Eccl. 418—421. — [18]) Si recte sic scribitur; vid. annot. crit. — [19]) Vid. Vesp. 666.

φθειρῶν δ' ἀριθμὸν καὶ κωνώπων καὶ ψυλλῶν οὐδὲ λέγω σοι
ὑπὸ τοῦ πλήθους, αἳ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
ἐπεγείρουσαι καὶ φράζουσαι· „πεινήσεις, ἀλλ' ἐπανίστω!“
πρὸς δέ γε τούτοις ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος, ἀντὶ δὲ κλίνης
στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει·
καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρόν, ἀντὶ δὲ προσκεφαλαίου
λίθον εὐμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ', ἀντὶ μὲν ἄρτων
μαλάχης πτόρθους, ἀντὶ δὲ μάζης φυλλεῖ' ἰσχνῶν ῥαφανίδων·

---

537. *δ'* Kuster] *τ'* V R. || *ψυλλῶν*] **μυιῶν*? Videntur litterae *ΜΥΙΩΝ* in *ΙΥΜΩΝ*, dein in *ΨΥΛΛΩΝ* abiisse. Confero Vesp. 597 Eq. 60. In V hic versus est paginae ultimus.

538. *ὑπὸ τοῦ πλήθους*] interpretamentum duco. *Mittit eas* non quod sint nimis multae — quis enim earum bestiolarum *numerum* scire cupiat? — sed quod minoris haec res sit momenti.

539. Dubito an sic sit interpungendum: *„πεινήσεις!“* — *„ἀλλ' ἐπανίστω!“* ut *hortativa*, non *adversativa* sit vis particulae *ἀλλά* et sic vertendus sit locus: *„esuries*, nisi ad opus quotidianum quantocius te accingas". — *„Quin surge igitur!"*

544. *φυλλεῖ'* schol. Ach. 469] *φύλλ'* V R (*ΦΥΛΛΙΙΣΧ* in *ΦΥΛΛΙΣΧ* abiit). || *ἰσχνῶν*] *ἰσχνὰ* vVelsen.

---

537. *οὐδὲ λέγω σοι*] cf. Mardonii ad Xerxem verba: *περὶ δὲ τῶν ἑσσωμένων οὐδὲ λέγω ἀρχήν, ἐξώλεες γὰρ δὴ γίνονται* [1]).

539. Haud inepte contuleris ineptum sane carmen Meleagri culicem iubentis Zenophilam suam e somno excitare: *„quam si huc ad me adduxeris"*, ait, *„δορᾷ στέψω σε λέοντος, | κώνωψ, καὶ δώσω χειρὶ φέρειν ῥόπαλον"* [2]), festive scilicet Admeto se assimulans, amicam Alcestidi, Herculi autem ... quemnam? culicem.

— *ἐπεγείρουσαι*] eodem verbo utitur Strepsiades filium e somno excitaturus [3]).

541. *στιβάδα*] *stratum e gramine vel frondibus*, militum servulorum pauperum cubile [4]). Strata cimicum plena e Socratis meditaculo illo novimus [5]); verba *ἣ* (vel *ὅς*) *τοὺς εὕδοντας ἐγείρει*, quae aptum praebent tetrametri exitum, reperiuntur etiam apud Eupolidem [6]) et a Sophocle quoque adhibita esse docet scholion [7]).

542—546. Verborum haec est structura: *καὶ ἔχειν φορμὸν (μὲν) ..., λίθον δὲ ..., σιτεῖσθαι δὲ ..., κεφαλὴν δὲ θράνου ..., πλευρὰν δὲ πιθάκνης κτέ.* — Verbum *πορίσαι* adscivit obiecta duo: accusativum *κολοσυρτόν* et infinitivum (accusativi vicem obeuntem) *ἔχειν* [8]), a verbo *ἔχειν* autem suspensa sunt nomina *φορμός, λίθος, κεφαλή, πλευρά*, et infinitivus *σιτεῖσθαι* (= *σῖτος*). Dicitur *ἔχειν σιτεῖσθαι* [9]) ut *ἔχειν κρατεῖν* [10]), *παρέχειν πατάξαι* [11]), cf. etiam locutiones qualis est *δὸς κύσαι* vel: *ὁ οἶνος ἡδύς ἐστι πιεῖν* [12]).

542. *φορμὸν*] est *φορμοκοιτεῖν* id quod *λυπρῶς καὶ κακῶς κοιμᾶσθαι* [13]).

544. *μαλάχης πτόρθους*] tenuis paupe-

---

[1]) Herodot. VII 9. — [2]) Meleagr. 90. — [3]) Nub. 79. — [4]) Cf. vs. 663 Pac. 348 Cratin. fr. 64 Eupol. fr. 254 Eur. Troad. 509. — [5]) Vid. Nub. 696 etc. — [6]) Vid. Eupol. fr. 36. — [7]) Soph. fr. 909, de quo vid. ad Ran. 1316. — [8]) Recte sic Bergler. — [9]) Item nos: *te eten hebben*. — [10]) Av. 420 sq. — [11]) Vid. ad Lys. 162. — [12]) Vid. ad Ran. 755. — [13]) Anecd. Bekk. 70. Cf. Thesm. 1007.

ἀντὶ δὲ θράνου στάμνου κεφαλὴν κατεαγότος, ἀντὶ δὲ μάκτρας
πιθάκνης πλευρὰν, ἐρρωγυῖαν καὶ ταύτην. ἆρά γε πολλῶν
ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἴτιον οὖσαν;

ΠΕΝΙΑ.

σὺ μὲν οὐ τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ἐπεκρούσω.

ΧΡΕΜΥΛΟΣ.

οὔκουν δή που „τῆς πτωχείας πενίαν" φαμὲν εἶναι „ἀδελφήν";

ΠΕΝΙΑ.

ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.

---

545. *θράνου* Poll. X 48] *θράνους* V R. Vid. ad vs. 1131.

546. *πιθάκνης*] *φιδάκνης* Brunck; vid. Eq. 792.

547. *πᾶσιν*] *ἡμῖν* Kappeyne (coll. vs. 500 et 593), articulum enim in vulgata esse molestum (vid. vs. 461, 507, 780). || *αἴτιον* Bentley] *αἰτίαν* V R. Simile vitium est Lys. 1017.

548. *ἐπεκρούσω* Iungermann e Poll. IX 139] *ὑπεκρούσω* V R (vid. v. l. Av. 1149 et de hoc verbo ad Eq. 47). Non *tecte* sed aperte Chremylus carpsit paupertatem.

549. *πτωχείας πενίαν* R] *πενίας· πτωχείαν* V, cuiusmodi errores cum non rari sint in hoc codice, non est cur *τὴν πτωχείαν πενίας* coniciat quispiam coll. Alcaei versu quem in comment. excripsi.

550. *Θρασυβούλῳ Διονύσιον*] *-λον -σίῳ* Kappeyne fortasse recte. || *εἶναι* U] *φάτ' εἶναι* V R A (-ᾰ- V).

---

rum cibus *malvae* inde ab Hesiodo [1]. — *φύλλεῖ' ἰσχνῶν ῥαφανίδων*] *folia raphanorum flaccidorum* [2].

545 sq. Pauper homo, qualem fingit Chremylus, non emit sibi supellectilem, sed e sordium acervis publicis colligit. Pro *scabello* [3] ei est *amphorae cervix* [4], ad pinsendam farinam — si quid sit farinae nec marcidis olerum foliis sit vescendum — pro *alveolo* sufficit *latus dolii* [5] item fracti [6]. Sic Cleonymus iusta mactra destitutus in *mortario* pultem sibi olim parabat, si fides Strepsiadi [7].

546. *ἐρρωγυῖαν καὶ ταύτην*] *eamque rimosam.* Latere vasis fracti pro alveo uti, id sordidae sane est paupertatis, sed maior est miseria eius cui ne integrum quidem fragmentum — si ita licet loqui — sit praesto, sed tale per cuius rimas diffluat puls. — Verborum similis est ordo in Ranarum versu: *τὴν πόλιν καὶ ταῦτ' ἔχοντες κυμάτων ἐν ἀγκάλαις* [8].

547. *αἴτιον*] neutri idem usus qui supra [9].

